**ἀκέφαλος (στίχος) / acephalus (versus)**

**1.** Plvt. *mor.* 397d … ὅπως ὑμῖν ἀκεφάλων καὶ λαγαρῶν μέτρων καὶ μειούρων εὐθύνας μὴ ὑπέχωσι.

Plvt. *mor.* 520a φέρε γάρ, εἴ τις ἐπιὼν τὰ συγγράμματα τῶν παλαιῶν ἐκλαμβάνοι τὰ κάκιστα τῶν ἐν αὐτοῖς καὶ βιβλίον ἔχοι συντεταγμένον οἷον Ὁμηρικῶν στίχων ἀκεφάλων κτλ.

Plvt. *mor.* 611b οἱ τοὺς ἀκεφάλους καὶ μειούρους Ὁμήρου στίχους ἐκλέγοντες.

Athen. XIV 32 (632c-e) ὅτι δὲ πρὸς τὴν μουσικὴν οἰκειότατα διέκειντο οἱ ἀρχαῖοι δῆλον καὶ ἐξ Ὁμήρου· ὃς διὰ τὸ μεμελοποιηκέναι πᾶσαν ἑαυτοῦ τὴν ποίησιν ἀφροντιστὶ [τοὺς] πολλοὺς ἀκεφάλους ποιεῖ στίχους καὶ λαγαρούς, ἔτι δὲ μειούρους. Ξενοφάνης δὲ (test. 27 Diels-Kranz) καὶ Σόλων (test. 715 Martina) καὶ Θέογνις καὶ Φωκυλίδης, ἔτι δὲ Περίανδρος ὁ Κορίνθιος ἐλεγειοποιὸς καὶ τῶν λοιπῶν οἱ μὴ προσάγοντες πρὸς τὰ ποιήματα μελῳδίαν ἐκπονοῦσι τοὺς στίχους τοῖς ἀριθμοῖς καὶ τῇ τάξει τῶν μέτρων ... καὶ σκοποῦσιν ὅπως αὐτῶν μηθεὶς <μήτε> ἀκέφαλος ἔσται μήτε λαγαρὸς μήτε μείουρος. ἀκέφαλοι δέ εἰσιν οἱ ἐπὶ τῆς ἀρχῆς τὴν χωλότητα ἔχοντες· ([Hom.] *Il.* XXIII 2)

ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο,

(cf. [Hom.] *Od.* XII 423 et *Il.* III 375)

ἐπίτονος τετάνυστο βοὸς ἶφι κταμένοιο.

[Herodian.] 186 στίχος ἐστὶ συλλαβῶν καὶ λέξεων σύνθεσις, δηλωτικὸς συμμετρίας καὶ μεγέθους. εἴδη δὲ στίχων εἰσὶ δεκαδύο· ἰσόχρονος, ἀπηρτισμένος, ἀκέφαλος, λαγαρός, μείουρος, τραχύς, μαλακοειδής, κακόφωνος, λογοειδής, προκέφαλος, σφηκίας, δολιχοῦρος ... 187 (3) ἀκέφαλος δέ ἐστιν ὁ ἀπὸ βραχείας ἀρχόμενος, οἷον· ([Hom.] *Il.* XXIII 2)

ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο.

Evstath. in [Hom.] *Il.* V 349 (II, p. 87. 13 sqq. Valk) ἀνάπαλιν δὲ τῷ τοιούτῳ πάθει ἔχει τὸ ἀκέφαλον, ταὐτὸν δ᾽ εἰπεῖν βραχυκέφαλον, κατὰ τὸ ἀμαθὴς ὁ ὀλιγομαθής, ὃ τοῦ κατὰ τὴν ἄρχουσαν μεγέθους ἐκπεσὸν ἀπὸ βραχείας ἄρχεται, ὁποῖον σὺν ἄλλοις, ἃ ἑτέρωθι φανεῖται, καὶ τὸ· ([Hom.] *Il.* XXIII 2)

ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο,

καί· ([Hom.] *Od.* VIII 452)

ἐπειδὴ λίπε δῶμα Καλυψοῦς ἠϋκόμοιο,

καί· ([Hom.] *Od.* XII 423)

ἐπίτονος βέβλητο, βοὸς ῥινοῖο τετευχώς.

τοιούτου δὲ πάθους ἔτυχε καὶ τό· ([Hom.] *Il.* IX 5)

Βορέης καὶ Ζέφυρος, τώ τε Θρῄκηθεν ἄητον,

καὶ τό· ([Hom.] *Od.* XVIII 247)

πλέονές κε μνηστῆρες ἐν ὑμετέροισι δόμοισιν.

εἰ γὰρ καὶ ἰσοδάκτυλοι τούτοις οἱ πρῶτοι πόδες ὡς τετράχρονοι, ἀλλ᾽ ὅμως οὐκ ἔστι προκεφάλους εἰπεῖν αὐτούς, ὅτι μηδὲ περιττεύει αὐτοῖς ἡ κεφαλὴ μακρὰ οὖσα, ἀκεφάλους δὲ μᾶλλον διὰ τὸ ἐκπεσεῖν τῆς κατὰ τὴν ἄρχουσαν ἐκτάσεως. ἀκέφαλοι δὲ ὁμοίως στίχοι καὶ τό· ([Hom.] *Od.* IV 90)

ἕως ἐγὼ περὶ κεῖνα πολὺν βίοτον ξυναγείρων,

καί· ([Hom.] *Il.* I 193)

ἕως ὃ ταῦθ᾽ ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν.

περὶ δὲ τούτων φασὶν οἱ παλαιοὶ καὶ ὅτι γελοῖοι οἱ τὴν μέσην μακρὰν ἐν τῷ ποδολογεῖν προτάττοντες καὶ τὸ ἕως ωες λέγοντες, καθὰ καὶ ἐν τῷ ‘Βορέης καὶ Ζέφυρος’ ‘ἠσβορε’ ποδίζοντες τὴν ἄρχουσαν. εἰ δὲ δεῖ, φασί, κατὰ τέχνην βοηθεῖν ἐν τῷ ‘ἕως ἐγώ’, καὶ ‘ἕως ὅ’, προενεκτέον τὸν πρῶτον πόδα, [ὥσειπερ ἦν] ὥσει οἷα συνιζήσεως ἐν αὐτῷ γενομένης, κατὰ κοινὴν συλλαβήν. ἄλλως δέ, φασίν, ἀβοήθητον ὄν, τάττεται εἰς ἀκέφαλον, καθότι ἡ πρώτη τοῦ ποδὸς βραχεῖα οὖσα κεῖται ὡσεὶ καὶ μακρά.

Evstath. in [Hom.] *Il.* IX 5 (II, p. 644. 9 sq. Valk) ὁ δὲ ‘Βορέης’, ὃς ἀκέφαλον, ὡς καὶ προεδηλώθη, ποιεῖ τὸν στίχον ἐνταῦθα, παρὰ τὴν βορὰν ἐτυμολογεῖται.

Evstath. in [Hom.] *Il.* XII 208 (III, p. 376. 15 sqq. Valk) ὥσπερ ἔμπαλιν ἀκέφαλος λέγεται στίχος ὁ περὶ τὴν ἀρχὴν καὶ οἱονεὶ κεφαλὴν συσταλείς, ὁποῖον καὶ τό· ([Hom.] *Il.* XXIII 2)

ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο.

Evstath. in [Hom.] *Il.* XII 208 (III, p. 377. 17 sqq. Valk) ὅτι δὲ ἡ μυουρία τῶν ἐπῶν καὶ τὸ ἀκέφαλον καὶ τὸ λαγαρόν, καὶ εἴ τι δὲ ἄλλο στιχηρὸν πάθος, ἀφροντιστὶ συνέπεσε διὰ τὸ μεμελοποιῆσθαι πᾶσαν τὴν Ὁμηρικὴν ποίησιν, ἐν τοῖς τοῦ Ἀθηναίου (XIV 32 [632c-e]) καὶ αὐτὸ δηλοῦται. ὅς φησι καὶ ὅτι ἀκέφαλοι μέν εἰσιν οἱ ἐν ἀρχῇ τὴν χωλότητα ἔχοντες κτλ.

Evstath. in [Hom.] *Il.* XXII 379 (IV, p. 634. 7 sqq. Valk) ἰστέον δὲ καὶ ὅτι τὸ ‘ἐπεὶ δὴ τόνδ᾽ ἄνδρα’, καὶ ἑξῆς, ἀκέφαλον στίχον οἱ παλαιοί φασιν, ὅμοιον τῷ ([Hom.] *Il.* XXI 308) ‘φίλε κασίγνητε’ ὥστε οὐκ ἀναγκαῖον προπερισπᾶν ἐκεῖ τὸ ‘φίλε’, ὡς ἂν ἀποτελεσθείη δάκτυλος, ἀλλ᾽ ὀξυνομένης τῆς ἀρχούσης μετρηθῆναι κἀκεῖνον τὸν στίχον ὡς ἀκέφαλον.

Anon. *de hex.* 348. 6 sqq. πάθη δὲ αὐτοῦ (*scil.* τοῦ ἡρῴου) τρία μὲν κατὰ τὸ μέγεθος, τρία δὲ κατ᾽ ἔλλειψιν· κατὰ μέγεθος τό τε λεγόμενον μακροκέφαλον καὶ τὸ προκοίλον καὶ τὸ μακροσκελές … 19 sqq. τὰ δὲ κατ᾽ ἔλλειψιν, ὡς τὸ λεγόμενον ἀκέφαλον τό τε λαγαρὸν καὶ τὸ μείουρον. ἀκέφαλον μὲν τὸ ἐλλεῖπον χρόνῳ κατὰ τὴν ἀρχήν, ὡς ἐν τούτῳ· ([Hom.] *Il.* XXIII 2)

ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο.

Anon. *de hex.* 349. 9 sqq. πάθη τῶν στίχων ἐισὶ τρία, ἀκέφαλος, μεσόκλατος, μείουρος. ἀκέφαλοι μὲν οὖν εἰσιν, ὅσοι ἀπὸ βραχείας ἄρχονται συλλαβῆς, ὡς οὗτος· ([Hom.] *Il.* XXIII 2)

ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο,

καί· ([Hom.] *Od.* XXI 25)

ἐπειδὴ Διὸς υἱὸν ἀφίκετο·

τὸ γὰρ ἡρωικὸν μέτρον ἀεὶ ἀπὸ μακρᾶς βούλεται ἄρχεσθαι.

Anon. *de hex.* 349. 27 sq. παντὸς δὲ μέτρου ἓξ πάθη εἰσίν, κατὰ μὲν πλεονασμὸν τρία καὶ κατ᾽ ἔλλειψιν τρία ... 350. 12 sqq. τὰ δὲ κάτ᾽ ἔλλειψιν ταῦτα. ἀκέφαλον τὸ ἐν ἀρχῇ στίχου λεῖπον συλλαβῇ, ἢ ἐκ κοινῆς συλλαβῆς ἢ ἁπλῶς, ὡς τό· ([Hom.] *Il.* I 70)

ὃς ᾔδη τά τ᾽ ἐόντα τά τ᾽ ἐσσόμενα πρό τ᾽ ἐόντα,

καὶ τό· ([Hom.] *Il.* XXIII 2)

ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο.

Anon. Ambr. 214. 6 sqq. ἀκέφαλοι δὲ (scil. στίχοι) εἰσὶν οἱ κατὰ τὴν ἀρχὴν ἐνδεεῖς· ὅθεν δὲ εἴρηνται, δῆλον. εἰσὶ δὲ οἵδε· ([Hom.] *Il.* XXIII 2)

ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο.

καὶ πάλιν· ([Hom.] *Od.* XII 423)

ἐπίτονος βέβλητο βοὸς <ῥινοῖο τετευχώς>,

καὶ πάλιν· ([Hom.] *Il.* XXI 352)

τὰ περὶ καλὰ ῥέεθρα ἅλις ποταμοῖο πεφύκει.

Anon. Harl. 17. 26 τοῦ δὲ ἡρωικοῦ εἴδη εἰσὶ ταῦτα ... 18. 7 sq. ἀκέφαλος ὁ ἀπὸ βραχείας ἀρχόμενος· ([Hom.] *Il.* XXIII 2)

ἐπεὶ δ᾽ αὖ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο.

Anon. Vrb. 68 sqq. εἴδη ἢ πάθη τῶν στίχων εἰσὶ δεκατέσσερα … τρίτος ἀκέφαλος, ὁ ἀπὸ βραχείας ἀρχόμενος, ὡς· ([Hom.] *Il.* XXIII 2)

ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο.

καί· ([Hom.] *Il.* I 70)

ὃς ᾔδῃ τά τ᾽ ἐόντα τά τ᾽ ἐσσόμενα πρό τ᾽ ἐόντα.

App. Dion. 322. 8 sq. γίνεται δὲ κατὰ ἓξ τρόπους τὰ ἔπη χωλά· ἤτοι κατὰ πλεονασμὸν ἢ κατ᾽ ἔνδειαν ... 15 sqq. ὅταν δὲ ἐνδεήσῃ, ἀκέφαλον, ὡς τό· ([Hom.] *Il.* XXIII 2)

ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο·

λείπει γὰρ τῷ πρώτῳ ποδὶ πρὸς τὴν σύστασιν τοῦ μέτρου χρόνος ... 323. 10 sqq. περὶ δὲ ἐκείνων καὶ τῶν ὁμοίων· ([Hom.] *Il.* IX 5)

Βορέης καὶ Ζέφυρος τώ τε Θρῄκηθεν ἄητον,

([Hom.] *Od.* XVIII 247)

πλέονές κε μνηστῆρες ἐν ὑμετέροισι δόμοισι

ζήτησις ἂν εἴη· ἔχουσι γὰρ τοὺς πρώτους πόδας τετραχρόνους ἰσοδυναμοῦντας τῷ δακτύλῳ, καὶ οὔτε ἀκεφάλους ἔστιν εἰπεῖν – οὐ γὰρ ἐλλείπει χρόνος – οὔτε προκεφάλους ἔστιν εἰπεῖν· οὐ γὰρ περιττεύει. χρὴ δὲ κατὰ λόγον ἀκεφάλους αὐτοὺς καλεῖν· κεφαλὴν γὰρ ἔπους καθόλου τὴν ἄρχουσιν μακρὰν χρὴ νομίζειν εἶναι. ἐὰν οὖν αὕτη τῆς οἰκείας χώρας ἐκπέσῃ καὶ ἀντ᾽ αὐτῆς βραχεῖα τεθῇ, ἀκέφαλον ἐξ ἀνάγκης τὸ ἔπος γίνεται. ὅτι δὲ τῆς εὐφωνίας ὁ ποιητὴς μᾶλλον ἐφρόντιζε ἢ τοῦ μέτρου, δῆλον ἐκ τοῦ· ([Hom.] *Il.* XII 208)

Τρῶες δ᾽ ἐρρίγησαν, ὅπως ἴδον αἰόλον ὄφιν.

ἐδύνατο γὰρ εἰπεῖν·

Τρῶες δ᾽ ἐρρίγησαν, ὅπως ὄφιν αἰόλον εἶδον.

τάχα δὲ καὶ τῆς τοῦ ‘φ’ δασέος ὄντος ᾔσθετο ὁ ποιητὴς ἐκφωνήσεως πλέον τι ἐχούσης διὰ τὴν σφοδρότητα τοῦ πνεύματος, καὶ ἀρκεῖν ἡγήσατο τὸ πνεῦμα πρὸς ἀναπλήρωσιν τοῦ χρόνου. οὕτως καὶ ἐπὶ τοῦ· ([Hom.] *Od.* VII 119)

Ζεφυρίη πνείουσα

τὸ αὐτὸ ἂν εἴη. Ἡλιοδώρῳ δὲ δοκεῖ ἐπὶ πολλῶν τῇ δασείᾳ πλέον τι νέμειν. ἔτι δὲ καὶ τό· ([Hom.] *Od.* VIII 452)

ἐπειδὴ λίπε δῶμα Καλυψοῦς ἠϋκόμοιο

ἀκέφαλον· τό· ([Hom.] *Od.* IV 90)

ἕως ἐγὼ περὶ κεῖνα πολὺν βίοτον ξυναγείρων,

<καὶ (*add. Hoerschelmann*) τό (*addidi*)·> ([Hom.] *Il.* I 193)

ἕως ὁ ταῦθ᾽ ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν

γελοῖοι ἂν εἶεν οἱ τὴν μέσην μακρὰν προτάττοντες ἐν τῷ ποδίζειν, τὸ ʻἕωςʼ ʻὥεςʼ λέγοντες καὶ τὸ ʻβορέςʼ ʻἠσβορέʼ. εἰ δὲ δεῖ τέχνῃ βοηθεῖν τῷ στίχῳ, προενεκτέον τὸν πρῶτον πόδα ʻωςʼ, ὡς συνιζήσεως γινομένης εἰς τὸ ʻωʼ, κοινῆς οὔσης τῆς δευτέρας κατὰ τὸν τρίτον τρόπον τῆς κοινῆς. τὸ δέ· ([Hom.] *Od.* IV 90)

ἕως ἐγὼ περὶ κεῖνα

ἀβοήθητόν ἐστι καὶ τάττεται εἰς τὸν τῶν ἀκεφάλων τόπον· οὐ γὰρ ἐδύνατο βοηθεῖσθαι ὡς τό· ([Hom.] *Il.* I 193)

ἕως ὁ ταῦτ᾽ ὥρμαινε κατὰ φρένα,

ἐπεὶ οὐκ ἐξῆλθεν ἡ βραχεῖα εἰς μέρος λόγου <ἐν τῷ>·

ἕως ἐγὼ περί.

ὁμοίως καὶ τό· ([Hom.] *Od.* XII 423)

ἐπίτονος βέβλητο βοὸς ῥινοῖο τετευχώς,

καθότι ἀντὶ μακρᾶς παρελήφθη ἡ πρώτη τοῦ ποδὸς συλλαβὴ βραχεῖα οὖσα, ἀκέφαλον χρὴ καλεῖν.

App. Dion. 325. 9 sqq. πάθη στίχων εἰσὶν ἕξ· ἀκέφαλος, προκέφαλος, προκοίλιος, λαγαρός, μείουρος, μακροσκελής. ἀκέφαλος· ([Hom.] *Il.* XXIII 2)

ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο.

ἀκέφαλος εἴρηται, παρόσον οὐδέποτε στίχος ἐστὶν ἀπὸ βραχείας ἀρχόμενος.

App. rhet. 341. 11 εἴδη στίχων ἐννέα ... 19 sq. ἀκέφαλον τὸ ἀπὸ βραχείας ἀρχόμενον· ([Hom.] *Il.* XXIII 2)

ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο.

Schol. in [Hom.] *Il.* XII 208c (III, p. 343 Erbse) ὅπως ἴδον αἰόλον ὄφιν] μείουρος ὁ στίχος. ἀκέφαλος· ([Hom.] *Il.* XXIII 2)

ἐπειδὴ νῆάς τε.

Schol. in [Hom.] *Il.* XXII 379b (V, p. 338 Erbse) ἐπειδὴ τόνδ᾽ ἄνδρα] σημειῶδες ὅτι καὶ ἀκεφάλοις χρῆται ὁ ποιητής, ὥστε οὐ δεῖ προπερισπᾶν τὸ ([Hom.] *Il.* XXI 308) ʻφίλε κασίγνητεʼ.

Schol. Gen. in [Hom.] *Il.* XII 208 (I, p. 151. 18 sq. Nicole) μείουρος ὁ στίχος κέκληται, ἀκέφαλος δέ· ([Hom.] *Il.* XXIII 2)

ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο.

Schol. Gen. in [Hom.] *Il.* XXIII 2 (II, p. 201. 1 Nicole) ἐπειδὴ νῆάς τε] ἀκέφαλον — ὁ στίχος.

Schol. B in Hephaest. 289. 10 sqq. ἀκέφαλος δέ (*scil.* ὁ στίχος), ὅταν ἐν τῇ ἀρχῇ ἐλλείπῃ χρόνῳ, ὡς ἐν τῷ· ([Hom.] *Il.* XXIII 2)

ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο.

καὶ ἐν τῷ· ([Hom.] *Il.* I 70)

ὃς ᾔδη τά τε ὄντα.

λείπει γὰρ ἐν τούτοις τῷ πρώτῳ ποδὶ χρόνοις εἷς πρὸς τὴν τοῦ μέτρου σύστασιν.

Schol. B in Hephaest. 290. 11 sqq. ζητήσειε δ᾽ ἄν τις περί τε τοῦ· ([Hom.] *Il.* IX 5)

Βορέης καὶ Ζέφυρος, τώ τε Θρῄκηθεν ἄητον,

καὶ τοῦ· ([Hom.] *Od.* XVIII 247)

πλέονές κε μνηστῆρες ἐν ὑμετέροισι δόμοισι,

καὶ τῶν ὁμοίων, πότερον ἀκεφάλους χρὴ λέγεσθαι ἢ μή. (προκέφαλοι μὲν γὰρ οὐκ εἰσίν· οὔτι γὰρ χρόνῳ πλεονάζουσιν οἱ πρῶτοι πόδες, ἐπειδὴ τετράχρονοί εἰσι καὶ ἰσοδυναμοῦσι τοῖς δακτύλοις). φαμὲν οὖν κατὰ λόγον αὐτοὺς ἀκεφάλους καλεῖν, εἰ καὶ μὴ ἐλλείπουσι χρόνῳ ἢ συλλαβῇ. κεφαλὴν γὰρ ἔπους καθόλου τὴν ἄρχουσαν μακρὰν χρὴ νομίζειν εἶναι· ἐὰν οὖν αὕτη τῆς οἰκείας χώρας ἐκπέσῃ καὶ ἀντ᾽ αὐτῆς βραχεῖα τεθῇ, ἀκέφαλον ἐξ ἀνάγκης τὸ ἔπος γίνεται. καὶ τούτων τῶν προτεθέντων στίχων ὁ μέν·

πλέονές κε μνηστῆρες

δύναται διὰ συνιζήσεως θεραπευθῆναι τῆς ‘πλε’ καὶ ‘ο’ συλλαβῆς εἰς μίαν μακράν· ὁ δὲ ἄλλος ἀθεράπευτός ἐστιν, ὥσπερ καὶ ἐπὶ τοῦ· ([Hom.] *Od.* VII 119)

Ζεφυρείην πνείουσα.

φασὶ δέ τινες καὶ περὶ τούτων ὅτι ὁ ποιητής, εὐφωνίας μᾶλλον ἢ μέτρου φροντίζων, ἔστιν ὅπου τῆς τοῦ μέτρου ἀκριβείας ὑπερορᾷ, καὶ τοῦτο δῆλον ἐκ τοῦ· ([Hom.] *Il.* XII 208)

Τρῶες δ᾽ ἐρρίγησαν, ἐπεὶ ἴδον αἰόλον ὄφιν·

(ἠδύνατο γὰρ εἰπεῖν·

Τρῶες δ᾽ ἐρρίγησαν, ὅπως ὄφιν αἴολον εἶδον),

ἢ ὅτι ἐνταῦθα ὁ ποιητὴς ᾔσθετο τῆς τοῦ δασέος ‘φ’ ἐκφωνήσεως πλέον τι ἐχούσης διὰ τὴν σφοδρότητα τοῦ πνεύματος, ὡς καὶ Ἡλιοδώρῳ δοκεῖ τῇ δασείᾳ πλέον τι νέμειν. τὸ αὐτὸ φασι καὶ περὶ τοῦ ‘Ζεφυρείην’. ἀλλὰ κατὰ τοῦτον τὸν λόγον δόξειεν ἂν κἀν τούτῳ τὴν ‘ζε’ συλλαβὴν μακρὰν εἶναι διὰ τὴν τοῦ δασέος ‘φ’ ἐπαγωγήν, ὡς καὶ ἐν τῷ ‘ὄφιν’. ἀλλ᾽ ἡ ‘ρει’ συλλαβὴ διὰ διφθόγγου γραφομένη οὐκ ἐᾷ τὸν λόγον τοῦτον ἄπταιστον προβῆναι· οὐ γὰρ δύναται διὰ τῶν τριῶν τούτων συλλαβῶν δάκτυλος συνίστασθαι, εἰ μή που τὴν ‘ρει’ συλλαβὴν διὰ τοῦ ‘ι’ φήσειαν γράφεσθαι — ἤδη δέ τινες καὶ τοῦ ‘Βορέης’ τὴν ‘βο’ καὶ ‘ρε’ συλλαβὴν ἐπεχείρησαν διὰ συνιζήσεως εἰς μίαν μακρὰν συνάπτειν, λέγοντες ὡς μετὰ τὴν ‘βο’ συλλαβὴν τοῦ ‘ρ’ ἐπιφερομένου, ὅπερ ὡς φωνῆεν καταλογίζεται (διὰ τοῦτο γὰρ καὶ δασύνεται ἐν πάσῃς ἀρχῇ λέξεως), οὐδὲν ἔσται ἐμπόδιον κοινὴν γενέσθαι συλλαβήν. ἀκέφαλος οὖν πάντῃ ἀθεράπευτός ἐστιν, ὡς ἐν τῷ· ([Hom.] *Il.* I 193)

ἕως ὃ ταῦθ᾽ ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν

καὶ ἐν τῷ· ([Hom.] *Od.* IV 90)

ἕως ἐγὼ περὶ κεῖνα.

οὐδεμιᾷ γὰρ μηχανῇ οὔτε διὰ συνιζήσεως οὔτε διὰ κοινῆς συλλαβῆς δύναται θεραπευθῆναι, καὶ εἰσιν ὁμολογουμένως πάθη. τούτοις ὅμοιον ἐστι καὶ τό· ([Hom.] *Od.* XII 423)

ἐπίτονος βέβλητο βοὸς ῥινοῖο τετευχώς.

Vel. Long. GL VII 54. 6 sqq. <at> cum dicimus ‘hic est ille’, unum ‘c’ scribimus et duo audimus, quod apparet in metro. nam: (Verg. *Aen.* II 664 sq.)

hoc erat alma parens, quod me per tela, per ignes  
eripis,

si unum ‘c’ hanc syllabam exciperet, acephalus esset versus nec posset a longa syllaba incipere, quae est heroico metro necessaria. ergo scribendum per duo ‘c’ ‘hocc erat alma parens’ aut confitendum quaedam aliter scribi, aliter enuntiari.

Vel. Long. GL VII 55. 17 sqq. sed quotiens, ut supra diximus, duabus vocalibus interiecta haec littera (*scil*. i) est, duarum consonantium obtinet vicem. sic non erit acephalus versus: (Verg. *Aen*. IV 302)

Thyias ubi audito trepidant trieterica Baccho

et: (Verg. *Aen*. II 56)

Troiaque nunc stares

et: (Enn. *ann.* 167 Skutsch)

aio te, Aeacida, Romanos vincere posse.

Sacerd. GL VI 452. 17 sqq. ectasis est, cum corripienda syllaba producitur metri causa, ut: (Verg. *Aen*. II 715)

religione patrum multos servata per annos,

ut 're' producatur, quae semper correpta pronuntiatur, et: (Verg. *Aen*. I 30)

reliquias Danaum.

sed hi versus acephali dicuntur, ut Homerus: (*Il.* XXIII 2)

ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον <ἵκοντο>.

Apthon. GL VI 67. 13 sqq. inter alia, quae in metris vitanda esse praecepimus, tria vel maxime haec observanda vitia nobis sunt, quibus vulnerati versus claudicabunt, quae trifariam contingunt. nam <a>ut in principio aut <in> medietate aut in extrema sui parte corrumpuntur. igitur cuius initium pro condicione propriae legis nequaquam integrum processerit, ἀκέφαλος dicitur, veluti capite imminuto, ut: (Verg. *georg*. I 482)

fluviorum rex Eridanus,

item: (Verg. *Aen*. XI 354)

adicias nec te ullius violentia vincat.

Diom. GL I 498. 28 sqq. sic vero hac in appellatione inprobantur (*scil*. versus) ut quinque speciebus designentur, mutili, exiles, ecaudes, fragosi, fluxi; et hos Graeci ἀκεφάλους, λαγαρούς, μειούρους, τραχεῖς, κολοβούς appellant … 500. 5 sqq. mutili vel trunci sunt qui in principio amputantur et litteram vel syllabam amittunt vel tempore deficiunt; Graece dicuntur ἀκέφαλοι, quale est: (Verg. *georg*. I 482)

fluviorum rex Eridanus;

item homericus ille: (*Il.* XXIII 2)

ἐπεὶ δὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο.

Macr. *sat*. V 14. 1 adeo autem Vergilio Homeri dulcis imitatio est ut et in versibus vitia quae a non nullis imperite reprehenduntur imitatus sit, eos dico quos Graeci vocant ἀκεφάλους, λαγαρούς, ὑπερκαταληκτικούς quos hic quoque heroicum stilum approbans non refugit; ut sunt apud ipsum ἀκέφαλοι: (Verg. *Aen.* XI 890)

arietat in portas,

(Verg. *Aen.* V 589)

parietibus textum caecis iter

et similia.

Fragm. Berol. GL VI 636. 28 sqq. vitia sunt heroi metri versuum sex. acephalus, qui non solum tunc dicitur, cum caput deest, sed <etiam> cum <in>

capite aliquid superest. cui deest, tale invenitur, quale Horatius hoc ipsum vitium reprehendens posuit: (inc. 95 [FPL 456] Blänsdorf)

acephalus primus, quorum hic quem dicimus ipse est:
nam prior est tribrachys.

**2.** Fragm. Berol. GL VI 636. 28 sqq. vitia sunt heroi metri versuum sex. acephalus, qui non solum tunc dicitur, cum caput deest, sed <etiam> cum <in> capite aliquid superest … at ille cui superest talis est, si fingas: (cf. Verg. *Aen*. V 3)

ad moenia respiciens quae iam infelicis Elissae.

**3.** Serv. GL IV 470. 3 sqq. septima ode (*scil*. Hor. *carm*. I 7) dicolos est distrofos. nam prior versus heroicus est, qui sex pedibus, dactylo scilicet et spondio <in>differenter positis, terminatur, secundus vero tetrametro acefalo eius efficitur; ususque est hac metri compositione tribus tantum cantibus, quorum primos versus adposui: (Hor. *carm*. I 7. 1)

laudabunt alii claram Rhodon aut Mitylenen,

(Hor. *carm*. I 28. 1)

te maris et terrae numeroque carentis harenae,

(Hor. *epod*. 12. 1)

quid tibi vis mulier nigris dignissima barris. [*M.E.*]